τρον ὑπερκατάληκτον. τὸ δέκατον ἐκ διτροχαίου ἀντισπαστικοῦ εἴτε ἐπιτρίτου τετάρτου καὶ διϊάμβου. τὰ ἑξῆς δύο χοριαμβικὰ δίμετρα βραχυκατάληκτα. τὸ τεσσαρεσκαιδέκατον, ἐκ χοριάμβου καὶ σπονδείου. τὸ ιδ, σπονδειακὴ ταυτοποδία. τὸ ιε, ἐκ παίωνος τετάρτου καὶ ἰάμβου. τὸ ις, ἀναπαιστικὸν δίμετρον ἀκατάληκτον. τὸ ιζ, δακτυλικὸν δίμετρον ἀκατάληκτον. τὸ ιη, ὅμοιον τῷ ις. τὰ ἑξῆς δῆλα, ζητητέον δὲ περὶ πάντων ἀκριβέστερον. ἄλλως. παρὰ τὰ ἐκ Πηλέως Εὐριπίδου. ἐπιφέρει γὰρ ἰὼ πύλαισιν ἥτις ἐν δόμοις. καὶ Φρύνιχος Σατύροις. Βοάσομαι γὰρ ἄρα τὰν ὑπέρτονον βοάν. χορικῇ περιπλοκῇ εἴρηται καὶ

διαλέκτῳ Δωρίδι. ὑπέρτονον δὲ, μεγάλην ὑπέροχον. φησὶ δὲ εἰ τοῦτο ὁ παῖς ἐκπεπαίδευται, μέγιστον ὑπὸ χαρᾶς ἐκβοήσομαι.

Bisetvs. ὦ ὀβολοστάται] Ὀβολοστατεῖν, τὸ δανείζειν. Λυσίας, οὐδ᾽ ἂν οἱ πολλοὶ ἐλάττονα τόκον λογίσαιντό σοι, ἢ ὅσον οὗτοι ὀβολοστατοῦντες τοὺς ἄλλους πράττονται. ἔλεγον δὲ τοὺς ὀβολοστάτας, τοὺς δανειστὰς ὡς Ὑπερίδης, καὶ ἡ κωμῳδία. Σ. Τἀρχαῖα] τὰ τῶν χρεῶν κεφάλαια. καὶ οὕτως ἐνταῦθα γραπτέον. Ἀρχεῖα γὰρ διὰ τῆς ει διφθόγγου, τὰ χαρτοφυλάκια, ἔνθα οἱ δημόσιοι χάρται ἀπόκεινται.

Αμφήκει γλώττῃ
Λάμπων. πρόβολος ἐμός.
Σωτὴρ δόμοις. ἐχθροῖς ἀνιαρός.
Λυσανίας πατρῴων μεγάλων κακῶν.
Ον κάλεσον τρέχων,
Ενδοθεν ὡς ἐμέ.
Ω τέκνον, ὦ παῖ παῖ.
Εξελθ᾽ οἴκων.
Αἴε σοῦ πατρός.
Σω. Οδ᾽ ἐκεῖνος ἀνήρ.
Στ. Ω φίλος, ὦ φίλος.
Σω. Απιθι σὺ λαβών.

*Perplexa lingua*
*Fulgens: columen meum,*
*Custos domus, atrox inimicis,*
*Qui grauibus curis eripuit patrem.*
*Tu propere euoca*
*E domo ad os patris.*
*O gnate mi: ô fili.*
*Exi tecto, audique patrem tuum.*
SO. *Et hic ille vir est.*
ST. *O Soboles mea.*
SO. *Abi, & accipe eum.*

Σχόλια. Αμφήκει γλώττῃ.] ὡς ἀπὸ εὐθείας τῆς ἀμφήκης. ἀκόλουθον δὲ τὸ εὖ μοι στομώσεις αὐτὸν, ἐπὶ μὲν θάτερα οἵαν δικιδίοις.

Bisetvs. Πρόβολος ἐμός.] ἤγουν ἐμοῦ προβαλλόμενος. προστάτης. τεῖχος. ἀσφάλεια. Σωτὴρ δόμοις] ὡς αὐτὸς ὁ Στρεψιάδης ᾤετο. καὶ γὰρ ὡς Εὐριπίδης λέγει ἐν Ἰφιγενείᾳ ἐν Ταύροις,

Στύλοι γὰρ οἴκων εἰσὶ παῖδες ἄρσενες.

ἀλλ᾽ ὡς ἐπὶ τὸ πλεῖστον
Φθόροι γὰρ οἴκων εἰσὶ παῖδες ἄρσενες.

Σχόλια. Λυσανίας.] λύων τὰς τοῦ πατρὸς ἀνίας. ... εταμένως δὲ προσενεγκτέον τὴν πρώτην καὶ τὴν τρίτην συλλαβήν. πρὸς δὲ τὴν ὀνοματοποιΐαν τοῦ Σοφοκλέα ...νικτηνεῖζει λέγοντα. Ζεῦ ἄνοτος ἄγοιτο Νικομάχαν. καὶ Πανσανίαν. καὶ Ἀτρείδαν.

ΔΡΑΜΑΤΟΣ ΤΟΥ ΤΕΤΑΡΤΟΥ,

Σκηνὴ τρίτη.

ΣΤΡΕΨΙΑΔΗΣ, ΦΕΙΔΙΠΠΙΔΗΣ.

Στ. Ιω. ἰὼ τέκνον.
Ἰοῦ. ἰοῦ.
Ως ἥδομαί σου πρῶτα τὴν χροιὰν ἰδών.
Νῦν μέν γ᾽ ἰδεῖν εἶ πρῶτον ἐξαρνητικὸς
Κἀντιλογικὸς, καὶ τοῦτο τοὐπιχώριον
Ατεχνῶς ἐπανθεῖ. τὸ, τί λέγεις σύ, καὶ δοκεῖν
Αδικοῦντ᾽ ἀδικεῖσθαι, καὶ κακουργοῦντ᾽ οἶδ᾽ ὅτι.
Επὶ τοῦ προσώπου τ᾽ ἐστὶν Αττικὸν βλέπος.

ACTVS IIII. SCENA tertia.

STREPSIADES, PHIDIPPIDES.

*IO, iô, fili.*
*Iu, iu*
*Vt lætor, cùm primum colorem hunc intuor*
*Tuum: nam mihi videris ad negandum ita,*
*Et contradicendum instructus: & in te palàm*
*Illud populare verbum effulget: quid tu ais?*
*Quid est? vt alicui videare pati iniuriam,*
*Quam tu infers alteri: & damnum accipere aut malum.*
*Quod tu das alteri: planè hoc scio, quòd probè*
*Poßis: nam ipso è vultu aspectus micat Atticus.*

Σχόλια. Χροίαν.] ὡς ἐκ τῆς ἀσκήσεως ὠχριάσαντος. οἱ Αττικοὶ δὲ παροξύνουσι τὴν χροιάν. Ιδεῖν εἶ.] λείπει ἡ εἰς. ἵν᾽ ᾖ εἰς τὸ ἰδεῖν. ἐξαρνητικὸς δὲ, ἀρνεῖσθαι

δυνάμενος. Ατεχνῶς.] ἄγαν ἀκριβῶς. ἐπανθεῖ δὲ, πλεονάζει, ἀκμάζει. Τί λέγεις σύ.] τῷ περὶ τὴν συνήθειαν καὶ ἀνὰ χεῖρα ἐχρήσατο. εἰώθαμεν γὰρ ἐν τῷ τῆς